Τίνες ἀποφάνσεις οὕτως ἀντιστρέφεται· ὅτι

1. ἡ καθόλου καταφατικὴ εἰς μερικὴν καταφατικήν· οἷον πᾶς ἄνθρωπος ἐστὶ ζῶον· ἔνια ζῶα εἰσὶν ἄνθρωποι.
2. ἡ καθόλου ἀποφατικὴ εἰς μερικὴν ἀποφατικήν· οἷον οὐδεὶς ἄνθρωπος ἐστὶ λίθος· ἔνιοι λίθοι οὐκ εἰσὶν ἄνθρωποι

ἡ δὲ κατ᾽ ἀντίθεσιν· περὶ ἧς θεωρεῖται δύο

1. λέγει· ὅτι ἀντιστροφὴ κατ᾽ ἀντίθεσιν ἐστίν, ὅταν ἡ ἀπόφανσις οὕτως ἀντιστρέφηται, ὥστε ἐξ ὡρισμένης ἀποφατικῆς γίνεσθαι ἀόριστον καταφατικήν· ἢ ἀνάπαλιν ἐξ ὡρισμένης καταφατικῆς, ἀόριστον ἀποφατικήν.
2. ποῖαι ἀποφάνσεις οὕτως ἀντιστρέφονται
   1. ἡ καθόλου καταφατικὴ ὡρισμένη εἰς καθόλου ἀποφατικήν, ἀόριστον ἔχουσαν τὸ ὑποκείμενον· οἷον, πᾶς ἄνθρωπος ἐστὶ ζῶον· πᾶν ὃ οὐκ ἐστὶ ζῶον, οὐκ ἐστὶν ἄνθρωπος.
   2. ἡ μερικὴ ἀποφατικὴ ὡρισμένη εἰς μερικὴν καταφατικὴν ἀόριστον, ἔχουσαν τὸ ὑποκείμενον ἀόριστον· οἷον τινὲς ἡδοναὶ οὐκ εἰσὶ καλαί· τινὰ μὴ καλά εἰσιν ἡδοναί.
3. κανών· ἐν πάσῃ ἀντιστροφῇ ὅλον τὸ ὑποκείμενον γίνεται κατηγορούμενον καὶ ἀνάπαλιν.

---

Τὸ η^ον περὶ ἀποφάνσεων συνθέτων· τρία

1. λέγει· ὅτι ἀπόφανσις σύνθετος ἐστί, ἡ ἐξ ἁπλῶν ἀποφάνσεων σύγκειται·
2. ποσαχῶς διαιρεῖται· ὅτι τριχῶς· ἐστὶ γὰρ
   ἡ μὲν ὑποθετική, ὅταν δύο ἢ πλείους ἀποφάνσεις ἁπλαῖ τῷ εἰ συνδέσμῳ συνέχονται· οἷον, εἰ ἡμέρα ἐστί, φῶς ἐστί.
   ἡ δὲ διαζευκτική, ὅταν δύο ἢ πλείους ἁπλαῖ τῷ ἢ συνδέσμῳ συνέχονται· οἷον, ἢ νύξ ἐστιν, ἢ ἡμέρα ἐστί.
   ἡ δὲ συμπλεκτική, ὅταν αἱ ἁπλαῖ τῷ καὶ συνέχωνται· Σωκράτης σοφός ἐστι καὶ χρηστός.
3. ἐξ ἀποφάνσεων συνθέτων καταφατικῶν, γίνονται ἀποφατικαί, ἐν αὐτῇ προστιθεμένου τοῦ οὐκ· οἷον, οὐκ, εἰ πένης ἐστίν, ἀπαίδευτός ἐστι.

http://digital.slub-dresden.de/ppn347224571/25